ἀναγιγνώσκων ἐπιγραφάς ‘Βρασίδας καὶ Ἀκάνθιοι ἀπ’ Ἀθηναίων’ καὶ ‘Ἀθηναῖοι ἀπὸ Κορινθίων’ καὶ ‘Φωκεῖς ἀπὸ D Θεσσαλῶν’, ‘Ὀρνεᾶται δ’ ἀπὸ Σικυωνίων’, ‘Ἀμφικτύονες δ’ ἀπὸ Φωκέων.’ ἀλλὰ Πραξιτέλης ὡς ἔοικε μόνος ἠνίασε Κράτητα τῇ ἐρωμένῃ τυχὼν αὐτόθι χώρας, ὃν ἐπαινεῖν ὤφειλε Κράτης, ὅτι τοῖς χρυσοῖς βασιλεῦσι τούτοις παρέστησε χρυσῆν ἑταίραν, ἐξονειδίζων τὸν πλοῦτον ὡς οὐδὲν ἔχοντα θαυμάσιον οὐδὲ σεμνόν. δικαιοσύνης γὰρ ἀναθήματα καὶ σωφροσύνης καὶ μεγαλονοίας καλῶς ἔχει τίθεσθαι παρὰ τῷ θεῷ τοὺς βασιλεῖς καὶ τοὺς ἄρχοντας, οὐ χρυσῆς καὶ τρυφώσης εὐπορίας ἧς μέτεστι καὶ τοῖς αἴσχιστα βεβιωκόσιν.’

**16.** ‘Ἐκεῖνο δ’ οὐ λέγεις’ εἶπεν ἅτερος τῶν περιηγητῶν, E ‘ὅτι Κροῖσος ἐνταῦθα καὶ τῆς ἀρτοποιοῦ χρυσῆν εἰκόνα ποιησάμενος ἀνέθηκε.’ ⟨καὶ ὁ Θέων ‘ναί’ ἔφη⟩ ‘πλὴν οὐκ ἐντρυφῶν τῷ ἱερῷ, καλὴν δὲ λαβὼν αἰτίαν καὶ δικαίαν. λέγεται γὰρ Ἀλυάττην τὸν πατέρα τοῦ Κροίσου δευτέραν ἀγαγέσθαι γυναῖκα καὶ παῖδας ἑτέρους τρέφειν· ἐπιβουλεύουσαν οὖν τῷ Κροίσῳ τὴν ἄνθρωπον φάρμακον δοῦναι τῇ ἀρτοποιῷ καὶ κελεῦσαι διαπλάσασαν ἄρτον ἐξ αὐτοῦ τῷ Κροίσῳ παραδοῦναι· τὴν δ’ ἀρτοποιὸν κρύφα τῷ Κροίσῳ φράσαι, παραθεῖναι δὲ τοῖς ἐκείνης παισὶ τὸν ἄρτον. ἀνθ’ ὧν βασιλεύσαντα τὸν Κροῖσον οἷον ἐπὶ μάρ- F τυρι τῷ θεῷ τὴν χάριν ἀμείψασθαι τῆς γυναικὸς εὖ γε ποιοῦντ’ ἐκεῖνον. ὅθεν’ εἶπεν ‘ἄξιον δὴ καὶ τῶν πόλεων εἴ τι τοιοῦτόν ἐστιν ἀνάθημα τιμᾶν καὶ ἀγαπᾶν, οἷον τὸ Ὀπουντίων. ἐπεὶ γὰρ οἱ Φωκέων τύραννοι πολλὰ τῶν χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων συγχέαντες ἔκοψαν